θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον,
ἕως ἂν παρέλθοι ἡ ὀργὴ κυρίου.

Ἐκ θηρὸς ἐκραύγασεν Ἰωνᾶς λέγων.

Ἐβόησα ἐν θλίψει μου. ᾠδὴ ς′.
πρὸς κύριον τὸν θεόν μου, καὶ εἰσήκου-
σέ μου. Ἐκ κοιλίας ᾅδου κραυγῆς μου
ἤκουσας φωνῆς μου. ἀπέρριψάς με εἰς
βάθη καρδίας θαλάσσης. καὶ ποταμοὶ ἐκύ-
κλωσάν με. Πάντες οἱ μετεωρισμοί σου,
καὶ τὰ κύματά σου ἐπ᾽ ἐμὲ διῆλθον.
Κἀγὼ εἶπον ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου,
ἄρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν
τὸν ἅγιόν σου. Περιεχύθη μοι ὕδωρ ἕως
ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη.
Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων, κα-
τέβην εἰς γῆν ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι
αἰώνιοι. Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή
μου πρὸς σὲ κύριε ὁ θεός μου. Ἐν τῷ ἐκ-
λείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ κυρίου
ἐμνήσθην. Καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή
μου, πρὸς ναὸν τὸν ἅγιόν σου. Φυλασσό-
μενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτῶν